**08 ΑΠΡΙΛΙΟΥ 2020**

**Τετάρτη τῆς Ϛ΄ Ἑβδομάδος τῶν Νηστειῶν**

**ὁ Ὄρθρος**

**Τετάρτη πρωΐ**

Ἦχος α΄ - 08.04.2020

Ἁγ.Ἀποστόλων ἐκ τῶν Ἑβδομήκοντα, Ἡρωδίωνος, Ἀγάβου, Ρούφου, Ἀσυγκρίτου, Φλέγοντος καὶ Ἑρμοῦ

**Εἰς τὸν Ὄρθρον.**

ὁ ἱερεύς· *«Εὐλογητὸς ὁ Θεός»*, *«Βασιλεῦ οὐράνιε»*, ὁ Ἀναγνώστης· Τρισάγιον κ.τ.λ., *«Ὅτι σοῦ ἐστί»*, ὁ Ἀναγνώστης· *«Κύριε, ἐλέησον»* (ιβ΄), Δόξα, Καὶ νῦν, *«Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ»*, ὁ ἱερεύς· *«Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ»*, ὁ δὲ Ἀναγνώστης· **τὸν Ἑξάψαλμον.**

ὁ ἱερεύς· Τὰ εἰρηνικὰ καὶ ἡ ἐκφώνησις *«Ὅτι πρέπει σοι»*.

**ΤΡΙΑΔΙΚΑ :** ὁ Χορός· εἰς ἦχον πλ. α΄ (τῆς ἑβδομάδος) τὸ Ἀλληλουάριον τετράκις μὲ τοὺς στίχους αὐτοῦ *«Ἐκ νυκτὸς ὀρθρίζει»* κ.λπ., ὡς ἐν τῷ Ὡρολογίῳ,

μεθ᾽ ὃ τοὺς ἐν τῷ τέλει τοῦ Τριῳδίου Τριαδικοὺς ὕμνους τοῦ α΄ ἤχου (τῆς ἑβδομάδος).

Σωματικαῖς μορφώσεσι, τῶν ἀσωμάτων δυνάμεων, πρὸς νοερὰν καὶ ἄϋλον ἀναγόμενοι ἔννοιαν, καὶ τρισαγίῳ μελῳδήματι, Τρισυποστάτου Θεότητος, ἐκδεχόμενοι ἔλλαμψιν, χερουβικῶς βοήσωμεν· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός, Δυνάμει τοῦ Σταυροῦ σου σῶσον ἡμᾶς.

Δόξα.

Μετὰ πασῶν τῶν οὐρανίων Δυνάμεων, χερουβικῶς τῷ ἐν ὑψίστοις βοήσωμεν, τὸν Τρισάγιον ἀναπέμποντες αἶνον· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός, Πρεσβείαις (τοῦ ἁγίου τοῦ Ναοῦ) σῶσον ἡμᾶς.

Καὶ νῦν.

Ἐξεγερθέντες τοῦ ὕπνου, προσπίπτομέν σοι Ἀγαθέ, καὶ τῶν Ἀγγέλων τὸν ὕμνον, βοῶμέν σοι Δυνατέ· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός, διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

ὁ ἱερεύς· μικρὰν συναπτήν. *«Ὅτι σόν τὸ Κράτος»*.

**ΚΑΘΙΣΜΑΤΑ:** ὁ Χορός· εἰς τὴν α΄ στιχολογίαν, τὰ Κατανυκτικὰ τοῦ α΄ ἤχου (τῆς ἑβδομάδος) [ζήτει εἰς τὸ τέλος τοῦ Τριῳδίου].

Καθίσματα Σταυρώσιμα

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ὁρῶσα σε Χριστέ, ἡ πανάμωμος Μήτηρ, νεκρὸν ἐπὶ Σταυροῦ, ἡπλωμένον ἐβόα· Υἱέ μου συνάναρχε, τῷ Πατρὶ καὶ τῷ Πνεύματι, τίς ἡ ἄφατος οἰκονομία σου αὕτη; δι᾽ ἧς ἔσωσας, τὸ τῶν χειρῶν σου οἰκτίρμον, πλαστούργημα Δέσποτα.

Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ.

Τοῦ Σταυροῦ σου τὸ ξύλον προσκυνοῦμεν φιλάνθρωπε, ὅτι ἐν αὐτῷ προσηλώθης ἡ ζωὴ τῶν ἁπάντων, Παράδεισον ἠνέῳξας Σωτήρ, τῷ πίστει προσελθόντι σοι Ληστῇ, καὶ τρυφῆς κατηξιώθη ὁμολογῶν σοι, Μνήσθητί μου Κύριε· δέξαι ὥσπερ ἐκεῖνον καὶ ἡμᾶς, κραυγάζοντας· Ἡμάρτομεν, πάντες τῇ εὐσπλαγχνίᾳ σου· μὴ ὑπερίδῃς ἡμᾶς.

Δόξα. Καὶ νῦν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν Ἄρνα ἐπὶ ξύλου ἡ ἀμνὰς καθορῶσα, μετὰ ληστῶν μακροθύμως σταυρούμενόν σε Λόγε, καὶ λόγχῃ κεντούμενον πλευράν, ἠλάλαζε βοῶσα μητρικῶς· Τί τὸ ξένον καὶ φρικῶδες, Υἱέ μου μυστήριον; πῶς καλύπτει τάφος τὸν ἀπερίγραπτον Θεόν; ἄφραστον τὸ τελούμενον! Μὴ με τὴν τεκοῦσαν ἐάσῃς, Υἱέ μου γλυκύτατε.

Μετὰ τὴν β΄ Στιχολογίαν, τὰ παρόντα Καθίσματα.

Ἦχος β΄. Τὸν λίθον τοῦ μνήματος.

Ὡς λίθῳ βαρούμενος, ταῖς πολλαῖς ἁμαρτίαις, ἐν τάφῳ κατάκειμαι, ἀμελείας Οἰκτίρμον· ἐξ οὗ με ἀνάγαγε, εὔσπλαγχνε Κύριε.

Δόξα. τὸ αὐτό.

Καὶ νῦν. Σταυροθεοτοκίον.

Ἦχος β´. Εὐσπλαγχνίας ὑπάρχουσα.

Τῷ τιμίῳ Σταυρῷ τοῦ Υἱοῦ σου, φυλαττόμενοι Δέσποινα ἁγνὴ Θεοτόκε, πᾶσαν προσβολὴν τοῦ πολεμήτορος, ἅπαντες ῥᾳδίως ἐκτρεπόμεθα· διό σε καταχρέως δοξάζομεν, ὡς Μητέρα τοῦ φωτός, καὶ μόνην ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Μετὰ τὴν γ´ Στιχολογίαν Καθίσματα.

Ἦχος γ´. Τὴν ὡραιότητα.

Σήμερον Λάζαρος, θανὼν ἐνθάπτεται, καὶ θρῆνον ᾄδουσιν, αἱ τούτου σύγγονοι· ὡς δὲ προγνώστης καὶ Θεός, τὸ Πάθος προηγόρευσας· Λάζαρος κεκοίμηται, τοῖς Μαθηταῖς προφθεγγόμενος· ἀλλὰ νῦν ἀπέρχομαι, ἀναστῆσαι ὃν ἔπλασα. Διό σοι πάντες βοῶμεν· Δόξα τῷ κράτει τῆς ἰσχύος σου.

Δόξα. τὸ αὐτό.

Καὶ νῦν. Σταυροθεοτοκίον - ὅμοιον.

Ἡ ἀπειρόγαμος, ἁγνὴ καὶ Μήτηρ σου, Χριστὲ ὁρῶσά σε, νεκρὸν κρεμάμενον, ἐπὶ τοῦ ξύλου μητρικῶς, θρηνολογοῦσα ἔλεγε· Τί σοι ἀνταπέδωκε, τῶν Ἑβραίων ὁ ἄνομος, δῆμος καὶ ἀχάριστος, ὁ πολλῶν καὶ μεγάλων σου, Υἱέ μου δωρεῶν ἀπολαύσας; Ὑμνῶ σου τὴν θείαν συγκατάβασιν.

ὁ Ν´ Ψαλμὸς χῦμα,

ὁ ἱερεύς· *«Σῶσον, ὁ Θεός»*, *«Κύριε, ἐλέησον»* (ιβ´) καὶ ἡ ἐκφώνησις *«Ἐλέει καὶ οἰκτιρμοῖς»*.

**ΑΙ ΩιΔΑΙ:** Ἐν συνεχείᾳ στιχολογοῦνται αἱ ἐννέα βιβλικαὶ Ὠιδαὶ κατὰ τὴν τάξιν αὐτῶν.

Σήμερον θὰ διαβασθῇ ὁλόκληρος ἡ γ´ Ὠιδή.

**ΚΑΝΟΝΕΣ:** Εἶτα ἀναγινώσκονται οἱ Κανόνες

ὡς ἑξῆς· εἰς ὅσας ᾠδὰς ὑπάρχουν τριῴδια προηγεῖται ὁ κανὼν τοῦ Μηναίου μετὰ τῶν εἱρμῶν αὐτοῦ καὶ ἕπονται τὰ Τριῴδια,

εἰς δὲ τὰς λοιπὰς ᾠδὰς μόνον ὁ κανὼν τοῦ Μηναίου.

Εἰς τὸ τέλος τῆς γ´ ᾠδῆς τοῦ κανόνος ψάλλεται ὁ τοῦ β´ τριῳδίου,

ὁ Κανὼν τῶν Ἀποστόλων,

οὗ ἡ Ἀκροστιχίς· Ἀποστόλοις πλέξωμεν ἔνθεον μέλος.

ποίημα Ἰωσήφ.

Ὠιδὴ α´.

Ἦχος γ´. Ὁ Εἱρμός.

«Ὁ τὰ ὕδατα πάλαι, νεύματι θείῳ εἰς μίαν, συναγωγὴν συναθροίσας, καὶ τεμὼν θάλασσαν, Ἰσραηλίτῃ λαῷ, οὗτος ὁ Θεὸς ἡμῶν, δεδοξασμένος ὑπάρχει, Αὐτῷ μόνῳ ᾄσωμεν, ὅτι δεδόξασται».

Στίχ. Ἀπόστολοι τοῦ Χριστοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἀποστόλων Ἁγίων, τὴν παναγίαν συμφώνως, πανηγυρίσωμεν μνήμην, καὶ αὐτοὺς μέλψωμεν, ἐν εὐφροσύνῃ ψυχῆς· τὸν γὰρ ὑπεράγιον, καθικετεύουσι Λόγον, ἱλασμὸν δωρήσασθαι, ἡμῖν καὶ ἔλεος.

Στίχ. Ἀπόστολοι τοῦ Χριστοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Πολυθέου μανίας, τὴν σηπεδόνα σοβοῦντες, τοῦ λόγου ἅλατι θείῳ, τὰς ψυχὰς ἔνδοξοι, τὰς μωρανθεῖσας ποτέ, πάσας ὑγιώσατε, καὶ σεσωσμένας τῷ Κτίστῃ, πάντων παρεστήσατε· ὅθεν δοξάζεσθε.

Δόξα.

Ὁ κλεινὸς Ἡρωδίων, Ροῦφος καὶ Ἄγαβος, Φλέγων, καὶ ὁ Ἀσύγκριτος ἅμα, καὶ Ἑρμῆς ᾄσμασι μακαριζέσθωσαν, γνήσιοι γενόμενοι, τοῦ Λυτρωτοῦ ἡμῶν φίλοι, καὶ σοφοὶ Ἀπόστολοι, καὶ θεῖοι κήρυκες.

Καὶ νῦν.

Θεοτοκίον

Συμπαθὴς Θεοτόκε, τῶν Ἀποστόλων τὸ κλέος, τῶν Ἀθλοφόρων ἡ δόξα, καὶ πιστῶν στήριγμα, στήριξον δέομαι, τὸν περιτρεπόμενον, ταῖς ἐπηρείαις τοῦ πλάνου, νοῦν μου καὶ σκοτούμενον, ταῖς παραβάσεσιν.

## Ὠιδὴ γ΄.

τῶν Ἁγίων

### Ἦχος γ΄. Ὁ Εἱρμός.

«Ὁ ἐκ μὴ ὄντων τὰ πάντα παραγαγών, τῷ Λόγῳ κτιζόμενα, τελειούμενα Πνεύματι, Παντοκράτορ Ὕψιστε, ἐν τῇ ἀγάπῃ τῇ σῇ στερέωσόν με».

Στίχ. Ἀπόστολοι τοῦ Χριστοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Τῆς Ἐκκλησίας γενόμενοι ὀφθαλμοί, πολλῶν διηνοίξατε, ὀφθαλμοὺς ἐνοπτρίζεσθαι, κάλλος τὸ ἀμήχανον, θεοειδεῖς Μαθηταὶ Θεοῦ τοῦ Λόγου.

Στίχ. Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Οἶκος Τριάδος ἐδείχθης φωτοειδής, Ροῦφε παναοίδιμε, καὶ τῷ λόγῳ τῆς χάριτος, ναοὺς κατηδάφισας, καὶ ἐδομήσω Κυρίῳ Ἐκκλησίας.

Λόγῳ σου θείῳ νεώσας Ροῦφε σοφέ, καρδίας κατέσπειρας, τὰ σωτήρια δόγματα, καὶ πολύχουν ἄσταχυν, τὴν τῶν σωθέντων, ἐδρέψω σωτηρίαν.

Θεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὁ κατ᾽ οὐσίαν ὑπάρχων τὴν θεϊκήν, ἀπρόσιτος Ἄχραντε, προσιτός μοι νῦν γέγονε, καὶ σαρκὸς προσλήμματι, ὅλως ἡνώθη δι᾽ ἄκραν εὐσπλαγχνίαν.

τοῦ Τριῳδίου

(ποίημα τοῦ κυρίου Ἰωσήφ)

### Ἦχος β΄. Στειρωθέντα.

Στίχ. Δόξα Σοι ὁ Θεός ἡμῶν, δόξα Σοι.

Τῇ δυνάμει τοῦ Σταυροῦ, δυναμώσας μου τὸν νοῦν, ἐξασθενοῦντα, προσβολαῖς πονηραῖς, πρὸς τὸ θέλημα τὸ σόν, ἴθυνον Κύριε.

Στίχ. Δόξα Σοι ὁ Θεός ἡμῶν, δόξα Σοι.

Ῥαθυμίας νυσταγμῷ, ἐπὶ κλίνης ἡδονῶν, καθεύδοντά με, διανάστησον Χριστέ, καὶ τῶν σῶν προσκυνητήν, Παθῶν ἀνάδειξον.

Στίχ. Δόξα Σοι ὁ Θεός ἡμῶν, δόξα Σοι.

Λαμπρυνθέντες τὰς ψυχάς, τῇ νηστείᾳ καθαροί, προσυπαντῆσαι, ἐπειχθῶμεν Χριστῷ, πρὸς τὴν Ἱερουσαλήμ, ἐπιδημοῦντι σαρκί.

Θεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Μὴ φλεχθεῖσα τῷ πυρί, τῆς Θεότητος Ἁγνή, κατάφλεξόν μου, τὰς ὑλώδεις ὁρμάς, τῶν παθῶν ὅπως πιστῶς, ἀεὶ δοξάζω σε.

Ἕτερον Τριῴδιον

(ποίημα τοῦ κυρίου Θεοδώρου)

### Ἦχος γ΄. Στεῖρα ψυχή.

Στίχ. Δόξα Σοι ὁ Θεός ἡμῶν, δόξα Σοι.

Τὴν σήμερον ὁ Λάζαρος, θανὼν οὐκ ἔλαθε, τὸ παντέφορον ὄμμα Ἰησοῦ· διὸ ἐκφράζει τοῦτο τοῖς Μαθηταῖς βοῶν· Ὅτι Λάζαρος ὁ φίλος κεκοίμηται, ἀναστῆσαι ἥκω αὐτόν.

Στίχ. Δόξα Σοι ὁ Θεός ἡμῶν, δόξα Σοι.

Πρὸς Ἰουδαίαν Κύριε, πάλιν ἀπαίρειν εἰπών, τοὺς Μαθητὰς ἐφόβησας· ἀλλ᾽ εὐθαρσῶς ὁ Θωμᾶς

ἐκβοᾷ· Ζωή ἐστιν ἄγωμεν· καὶ γὰρ ἂν θνηξώμεθα, αὖθις ἀναζήσωμεν.
Τριὰς ἡ Ὁμοούσιος, ὁ Παντοκράτωρ Πατήρ, ὁ Υἱὸς ὁ Συνάναρχος, σὺν τῷ Συνθρόνῳ θείῳ Πνεύματι, ἡ μία προσκύνησις, Θεότης ἡ ἄκτιστος· σὲ ὑμνοῦμεν πάντες βροτοί.

Καὶ νῦν.

Θεοτοκίον

Παρθενομῆτορ ἄχραντε, ἡ ῥίζα τοῦ Ἰεσσαί, ἐξ ἧς Χριστὸς ἀνέτειλε, τὸ ζωηφόρον ἄνθος τῶν γηγενῶν· δι᾿ ἧς ἐλυτρώθημεν, φθορᾶς καὶ θνητότητος. Σὲ ὑμνοῦμεν πάντες Ἁγνή.

Στίχ. Δόξα Σοι ὁ Θεός ἡμῶν, δόξα Σοι.

Χαῖρε Σιών· νῦν ἔρχεται, ὁ Βασιλεύς σου πραΰς, ὡς ὁ Προφήτης κέκραγε, καὶ ἄγει πῶλος τοῦτον σωματικῶς, τὸν ἐν τῇ χειρὶ αὐτοῦ, τὸ πᾶν περιέχοντα. Ἄισωμεν τῷ κράτει αὐτοῦ.

Καταβασία

Ἦχος γ΄. Ὁ Εἱρμός.

«Στεῖρα ψυχὴ καὶ ἄγονε, κτῆσαι καρπὸν εὐκλεῆ, εὐφραινομένη βόησον· Ἐστερεώθην διὰ σοῦ ὁ Θεός· οὐκ ἔστιν Ἅγιος, οὐκ ἔστι δίκαιος, πλήν σου Κύριε».
ὁ ἱερεύς· αἴτησιν καὶ ἐκφώνησιν· *«Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν»*

τὸ Μεσῴδιον Κάθισμα τοῦ Μηναίου μετὰ τοῦ Θεοτοκίου

Μεσῴδιον Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτὴρ.

Ἀκτῖνες νοητοῦ, γεγονότες Ἡλίου, φαιδρύνετε τὴν γῆν, ταῖς τῶν λόγων ἀκτῖσι, καὶ σκότος ἐλαύνετε, ἀγνωσίας ἐν Χάριτι· ὅθεν σήμερον, ἐν τῇ φαιδρᾷ ὑμῶν μνήμῃ, λαμπρυνόμενοι, φωτοειδεῖς θεηγόροι, ὑμᾶς μακαρίζομεν.

Δόξα. Καὶ νῦν.

Σταυροθεοτοκίον

Ὡς εἶδεν ἐν Σταυρῷ, ἡ Ἀμνάς σε τὸν Ἄρνα, κρεμάμενον Χριστέ, τῶν κακούργων ἐν μέσῳ ἐβόα δακρύουσα, καὶ πικρῶς ὀλολύζουσα· Τέκνον φίλτατον, τί τὸ ὁρώμενον ξένον; Μῆτερ ἄνανδρε, ζωὴ παγκόσμιος τοῦτο, ἀντέφης, γνωσθήσεται.

## Ὠιδὴ δ΄.

Ἦχος γ΄. Ὁ Εἱρμός.

«Ἔθου πρὸς ἡμᾶς, κραταιὰν ἀγάπησιν Κύριε, τὸν μονογενῆ γάρ σου Υἱόν, ὑπὲρ ἡμῶν εἰς θάνατον δέδωκας· διό σοι κραυγάζομεν, εὐχαριστοῦντες· Δόξα τῇ δυνάμει σου».

Στίχ. Ἀπόστολοι τοῦ Χριστοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἴαμα πιστοῖς, διὰ γλώσσης θεῖον προσφέροντες, γῆν τῆς ἀσεβείας πονηράν, καταστροφῇ Σοφοὶ παρεδώκατε, καὶ ᾠκοδομήσατε, ψυχὰς ἐν πίστει, ὅθεν μακαρίζεσθε.

Στίχ. Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σθένος διὰ σοῦ, Ἡρωδίων μάκαρ ἐνδέδυται, πόλις τῶν Πατρῶν περιφανῶς· πρῶτος τὸν θρόνον γὰρ κατεκόσμησας, θείαις ἐλλαμπόμενος, φωτοχυσίαις, τοῦ Ἁγίου Πνεύματος.

Δόξα.

Πόλις τῶν Πατρῶν, πολιστήν σε μέγαν ἐπλούτησε, μάκαρ Ἡρωδίων ἀληθῶς, πρὸς τὴν Σιὼν τὴν ἄνω μετάγοντα, ταύτην ἀληθέστατα, ὅθεν τιμᾷ σε, θείοις μελῳδήμασι.

Καὶ νῦν.

Θεοτοκίον

Λόγῳ ἱερῷ, τοῦ Πατρὸς τὸν Λόγον συνέλαβες, πάσης ἀλογίας τοὺς βροτούς, Θεογεννῆτορ Κόρη λυτρούμενον· ὅθεν λόγοις πάντοτε, μεγαλοφώνως, θείοις σε δοξάζομεν.

## Ὠιδὴ ε΄.

Ἦχος γ΄. Ὁ Εἱρμός.

«Ἐπὶ τῆς γῆς ὁ ἀόρατος ὤφθης, καὶ τοῖς βροτοῖς ἑκὼν συνανεστράφης, ὁ ἀκατάληπτος· πρὸς Σέ οὖν ὀρθρίζοντες, ἀνυμνοῦμέν σε Φιλάνθρωπε».

Στίχ. Ἀπόστολοι τοῦ Χριστοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἐπὶ τῆς γῆς τὸν ἐλθόντα τοῦ σῶσαι, τὸ πλανηθέν, ἐκηρύξατε Λόγον, θεῖοι Ἀπόστολοι, καὶ τῆς πλάνης ἅπαντας, τοὺς ἀνθρώπους ἐλυτρώσασθε.

Στίχ. Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ξενοπρεπῶς προφητείας σοι χάρις, παρὰ Θεοῦ ἐξεχύθη πλουσίως, θεόφρον Ἄγαβε· προφωνεῖς γὰρ δήλωσιν, τῶν μελλόντων ἐμφανέστατα.

Δόξα.

Ὤφθης ποτὲ προσημαίνων τῷ Παύλῳ, ἐπιβουλὴν καὶ δεσμὰ καὶ κακώσεις, Προφῆτα Ἄγαβε, ὁπηνίκα χεῖράς σου, τῇ ἐκείνου ζώνῃ ἔδησας.

Καὶ νῦν.

Θεοτοκίον

Μόνη ἐν γῇ τοκετὸν ἔσχες ξένον, μόνον ἡμᾶς καταλλάσσοντα μόνῳ, τῷ προανάρχῳ Πατρί· διὰ τοῦτο μόνην σε, ὡς Θεοῦ Μητέρα σέβομεν.

Ὠιδὴ ς΄.

Ἦχος γ΄. Ὁ Εἱρμός.

«Ἄβυσσος ἐσχάτη ἁμαρτιῶν, ἐκύκλωσέ με, καὶ ἐκλείπει τὸ πνεῦμά μου· ἀλλ᾽ ἐκτείνας Δέσποτα, σὸν ὑψηλὸν βραχίονα, ὡς τὸν Πέτρον με, κυβερνῆτα διάσωσον».

Στίχ. Ἀπόστολοι τοῦ Χριστοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἔθετο λαμπάδας ὡς φωταυγεῖς, ὑμᾶς ὁ Λόγος, οἰκουμένην φωτίζοντας, καὶ τὸ σκότος λύοντας, θεοειδεῖς Ἀπόστολοι, καὶ δεικνύοντας, τὴν ὁδὸν τὴν σωτήριον.

Στίχ. Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νέκρωσιν κηρύττων τοῦ ἀπαθοῦς, νενεκρωμένους, πρὸς ζωὴν προσηγάγετο, ὁ σοφὸς Ἀσύγκριτος, Ἀποστόλων τὸ καύχημα, Ὑρκανίας τε, τὸ σοφὸν περιτείχισμα.

Δόξα.

Εὗρέ σε Ἀσύγκριτε ποταμόν, ναμάτων πλήρη, Ὑρκανία τοῦ Πνεύματος, καὶ σεπταῖς ἀρδείαις σου, καταρδευθεῖσα ἤνεγκεν, ὡραιότατα, τῷ Δεσπότῃ βλαστήματα.

Καὶ νῦν.

Θεοτοκίον

Νόμου σε ἐτύπου ἡ κιβωτός, τὴν δεξαμένην νόμου θείου τὸ πλήρωμα, καὶ σαρκὶ κυήσασαν, καὶ μετὰ τόκον μείνασαν, Ἀειπάρθενον, ὡς πρὸ τόκου Θεόνυμφε.

Καταβασία

Ἦχος γ΄. Ὁ Εἱρμός.

«Ἄβυσσος ἐσχάτη ἁμαρτιῶν, ἐκύκλωσέ με, καὶ ἐκλείπει τὸ πνεῦμά μου· ἀλλ᾽ ἐκτείνας Δέσποτα, σὸν ὑψηλὸν βραχίονα, ὡς τὸν Πέτρον με, κυβερνῆτα διάσωσον».

ὁ ἱερεύς· αἴτησιν καὶ ἐκφώνησιν· «*Σὺ γὰρ εἶ ὁ βασιλεύς*».

Εἶτα ἀντὶ Κοντακίου τὸ ἐνδιάτακτον Μαρτυρικὸν Κάθισμα τοῦ Ἤχου τῆς Ἑβδομάδος
[τὸ τυχὸν Κοντάκιον τοῦ Μηναίου καταλιμπάνεται]

Τὰς ἀλγηδόνας τῶν Ἁγίων, ἃς ὑπὲρ σοῦ ἔπαθον, δυσωπήθητι Κύριε, καὶ πάσας ἡμῶν τὰς ὀδύνας, ἴασαι φιλάνθρωπε δεόμεθα.

καὶ τὸ Συναξάριον.

Τῇ Η΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τῶν Ἁγίων καὶ ἐνδόξων Ἀποστόλων ἐκ τῶν Ἑβδομήκοντα, Ἡρωδίωνος, Ἀγάβου, Ῥούφου, Φλέγοντος, Ἀσυγκρίτου καὶ Ἑρμοῦ.

Στίχοι

Εὐαγγελίου τὸν καλὸν δραμὼν δρόμον,
Ἡρωδίων κάλλιστον ἤρατο στέφος.
Ψυχὴν Ἀγάβου τοῦ Προφηταποστόλου,
Ὁ ψυχοσώστης προσκαλεῖται Δεσπότης.

Σβέσας πλάνης φλέγουσαν ὁ Φλέγων φλόγα,
Οὗς Δαυὶδ εἶπε 'πῦρ φλέγον' βλέπει Νόας.
Παῦλος καλεῖ σε, Ροῦφ᾽, Ἀπόστολος μέγας,
Ἐκλεκτὸν ὄντως, ὢ ἐπαίνου ἀξίου!
Ἀσύγκριτον δὲ πᾶς ἐπαινέσει μάλα,
Τοῦτον γὰρ ἠσπάσατο Παύλου τὸ στόμα.
Ἑρμῇ θανόντι τῷ μαθητῇ Κυρίου,
Ἑρμῷον ἔμπνουν ἐκ λόγων ἀναγλύφω.
Ὀγδοάτῃ μετέβησαν Ἀπόστολοι, ἀγγελέες τε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Κελεστίνου πάπα Ῥώμης.

Στίχοι

Τὸ χάσμα καὶ σὲ παμμάκαρ, Κελεστῖνε,
Χοροῦ διϊστᾷ μὴ μεμακαρισμένου.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος ἔνδοξος Νεομάρτυς Ἰωάννης ὁ Κουλικᾶς, ὁ μαρτυρήσας ἐν ἔτει 1564ῳ, ὀγγίνοις τελειοῦται.

Στίχοι

Τὸν Κουλικᾶν δὲ πῶς σιωπῇ παρίδω,
Ὃς ὀγγίνοις τέθνηκεν ὑπὲρ Κυρίου;

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Παυσιλύπου κατὰ τὸν Β΄αἰῶνα διαλάμψαντος.

Στίχοι

Ὁ Παυσίλυπος γῆς λιπὼν παροικίαν,
Εἰς παυσίλυπον ἔρχεται κατοικίαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Ἐνδόξου Νεομάρτυρος Ἰωάννου τοῦ Ναυκλήρου τοὐπίκλην Κουλικᾶς, ἐν Κῷ μαρτυρήσαντος κατὰ τὸ χίλια ἑξακόσια ἑξήκοντα ἐννέα (1669).

Στίχοι

Πλεύσας θάλασσαν ἐν πυρὶ τὴν τοῦ βίου,
Ναύκληρ᾽ ἔφθασας εἰς γαληνοὺς λιμένας.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Φιλαρέτου τοῦ κηπουροῦ, τοῦ ἐν Καλαβρίᾳ τῆς Σικελίας ἀσκήσαντος.

Στίχοι

Ἄσκησιν μακρὰν Φιλάρετος ἀνύσας,
Λύχνος ἱλαρὸς δι᾽ ἐγκρατείας φαίνει.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου ἐνδόξου Ὁσιομάρτυρος Γενναδίου τοῦ Διονυσιάτου.

Στίχοι

Τμηθεὶς ὁ Γεννάδιος τὴν Κάραν ξίφει,
Δήμοις Ὁσίων καὶ Ἀθλητῶν συνήφθη.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Νήφωνος, Ἐπισκόπου Νόβγκοροντ, τοῦ ἐν τοῖς Σπηλαίοις τοῦ Κιέβου ἀναπαυομένου. (+1157)

Στίχοι

Ὅρια Νήφων μὴ μεταίρων Πατέρων,
Οἰκεῖ μετ᾽ αὐτῶν εἰς τὴν ἄσειστον Πόλιν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ρούφου τοῦ Ῥώσου Ἡσυχαστοῦ καὶ Ἀναχωρητοῦ τῆς Λαύρας τῶν Σπηλαίων τοῦ Κιέβου, κατὰ τὸν ΙΔ΄ αἰῶνα διαλάμψαντος.

Στίχοι

Τί θέλεις, Ῥοῦφε, ἀναχωρῶν ἀείπου;
Χριστὸν ζητῶ! Ἄνελθε! Τοῦτον θεώρει.

Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

[ἐν τῇ η΄ ᾠδῇ πρὸ τοῦ Τριαδικοῦ, ἀντὶ τοῦ Δόξα, λέγομεν «*Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, τὸν Κύριον*»]

[Εἰς ἀρκετὰς Ἐνορίας παραλείπουν τὴν ἀνάγνωσιν τῶν Ὠιδῶν ζ΄, η΄, θ΄, ὡς καθ᾽ ὅλον τὸν ἐνιαυτόν]

Εἰς τὸ *«Αἰνοῦμεν, εὐλογοῦμεν»* ὁ εἱρμὸς τῆς η´ ᾠδῆς τοῦ β´ Τριῳδίου,

Ἦχος γ´. Ὁ Εἱρμός.

«Τὸν ἐξ ἀνάρχου τοῦ Πατρός, γεννηθέντα πρὸ αἰώνων Θεόν, καὶ ἐπ᾽ ἐσχάτων ἐκ τῆς Θεοτόκου, σάρκα ἐνδυσάμενον, ὡς τέλειον ἄνθρωπον, καὶ Θεὸν ἀληθινόν, ὑμνοῦμεν εὐλογοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας».

ὁ ἱερεύς· *«Τὴν Θεοτόκον καὶ μητέρα»*

ὁ Χορός· στιχολογεῖ *«Τὴν τιμιωτέραν»*·

εἶτα ὁ εἱρμὸς τῆς θ´ ᾠδῆς τοῦ β´ Τριῳδίου

Ἦχος γ´. Ὁ Εἱρμός.

«Ἐν Σιναίῳ τῷ ὄρει κατεῖδέ σε, ἐν τῇ Βάτῳ Μωϋσῆς, τὴν ἀφλέκτως τὸ πῦρ τῆς Θεότητος, συλλαβοῦσαν ἐν γαστρί· Δανιὴλ δέ σε εἶδεν, ὄρος ἀλατόμητον. Ῥάβδον βλαστήσασαν, Ἡσαΐας κέκραγε, τὴν ἐκ ῥίζης Δαυΐδ».

καὶ τὸ *«Ἄξιον ἐστίν»*.

ὁ ἱερεύς· Αἴτησιν, καὶ ἐκφώνησιν· *«Ὅτι σέ αἰνοῦσι»*.

**ΦΩΤΑΓΩΓΙΚΟΝ:** ψάλλεται (ἐκ τρίτου) τὸ τοῦ ἤχου τῆς ἑβδομάδος ἀντὶ Ἐξαποστειλαρίου.

Φωταγωγικὸν τοῦ α´ Ἦχου.

Ὁ τὸ φῶς ἀνατέλλων Κύριε, τὴν ψυχήν μου καθάρισον ἀπὸ πάσης ἁμαρτίας, Δυνάμει, Κύριε, τοῦ Σταυροῦ σου, καὶ σῶσόν με.

Ὁ τὸ φῶς ἀνατέλλων Κύριε, τὴν ψυχήν μου καθάρισον ἀπὸ πάσης ἁμαρτίας, Πρεσβείαις, Κύριε, (τοῦ ἁγίου τοῦ Ναοῦ), καὶ σῶσόν με.

Ὁ τὸ φῶς ἀνατέλλων Κύριε, τὴν ψυχήν μου καθάρισον ἀπὸ πάσης ἁμαρτίας, Πρεσβείαις, Κύριε, τῆς Θεοτόκου καὶ σῶσόν με.

[ψαλμοὶ τῶν Αἴνων καὶ Στιχηρὰ Αἴνων δὲν ψάλλονται]

ὁ ἱερεύς· *«Σοί δόξα πρέπει»* καὶ ὁ Ἀναγνώστης· τὴν Δοξολογίαν (χῦμα).

ὁ ἱερεύς· *«Πληρώσωμεν τὴν ἑωθινὴν»* κ.τ.λ, Κεφαλοκλισία, ὡς συνήθως. *«Σὸν γάρ ἐστι τὸ ἐλεεῖν»*.

**ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ ΤΩΝ ΑΙΝΩΝ:**

ὁ Χορός· τὸ Ἰδιόμελον τοῦ Τριῳδίου (δίς)

καὶ τὸ Μαρτυρικὸν (ἅπαξ) εἰς τοὺς οἰκείους στίχους,

Δόξα. Καὶ νῦν, Θεοτοκίον

Ἀπόστιχα τῶν Αἴνων.

Ἰδιόμελον. Ἦχος α´.

Ὁ Ἰσραὴλ πορφύραν καὶ βύσσον ἐνεδέδυτο, στολαῖς ἱεραῖς καὶ βασιλείοις λάμπων· νόμον δὲ καὶ Προφήτας πλουτῶν νομίμοις λατρείαις ἐνευφραίνετο· ἀλλὰ Σὲ πτωχεύσαντα, σταυρώσας ἔξω πυλῶν Εὐεργέτα, καὶ ζῶντα μετὰ σταυρὸν ἀθετῶν, τὸν ἐν κόλποις Θεοῦ Πατρὸς ἀεὶ ὄντα, διψεῖ σταγόνα χάριτος· ὡς Πλούσιος ἄσπλαγχνος Λαζάρῳ πένητι, ὁ πορφύρας καὶ βύσσου, ἄσβεστον πῦρ ἀνθυποδύς· καὶ βλέπων ὀδυνᾶται τὸν πρὶν ψιχίων ἀληθείας, ἐνδεῆ λαὸν τῶν ἐθνῶν· νῦν ἐν κόλποις πίστεως, Ἀβραὰμ θαλπόμενον, τὴν τοῦ Αἵματός σου πορφυρίδα, σὺν τῇ βύσσῳ τοῦ βαπτίσματος φοροῦντα, καὶ συνευθηνούμενον, καὶ ἐντρυφῶντα χαρίσμασι, καὶ λέγοντα· Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Στίχ. α´. Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν. Εὐφρανθείημεν, ἀνθ᾽ ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν, ὧν εἴδομεν κακά, καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.

Ὁ Ἰσραὴλ πορφύραν καὶ βύσσον ἐνεδέδυτο, ..

Μαρτυρικόν

Στίχ. β´. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ᾽ ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν

κατεύθυνον ἐφ᾽ ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

Ὑμᾶς πανεύφημοι Μάρτυρες, οὐ θλῖψις οὐ στενοχωρία, οὐ λιμὸς οὐ διωγμός, οὐδὲ μάστιγες, οὐ θυμὸς θηρῶν, οὐ ξίφος, οὐδὲ πῦρ ἀπειλοῦν, χωρίσαι Θεοῦ δεδύνηνται· πόθῳ δέ μᾶλλον τῷ πρὸς αὐτόν, ὡς ἐν ἀλλοτρίοις, ἀγωνισάμενοι σώμασι, τὴν φύσιν ἐλάθετε, θανάτου καταφρονήσαντες· ὅθεν καὶ ἐπαξίως τῶν πόνων ὑμῶν, μισθὸν ἐκομίσασθε· Οὐρανῶν Βασιλείας, κληρονόμοι γεγόνατε· ἀπαύστως πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Καὶ νῦν.

Σταυροθεοτοκίον

Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Ὁρῶσα κρεμάμενον Χριστέ, ἡ ἁγνῶς κυήσασα, σὲ τὸν κρεμάσαντα ὕδασι, τὴν γῆν φιλάνθρωπε, ἀνεβόα· Οἴμοι! τί τὸ ξένον θέαμα; ποῦ ἔδυ σου τὸ κάλλος γλυκύτατε, Υἱὲ τὸ ἄπειρον; Μεγαλύνω σου τὸ ἔλεος, ὅτι πάσχεις, ἑκὼν ὑπὲρ ἅπαντας.

ὁ ἱερεύς· *«Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι»*,

ὁ Ἀναγνώστης· Τρισάγιον κ.λπ.,

Αὖθις, τὸ Ἀπολυτίκιον χῦμα

ὁ Ἀναγνώστης· *«Ἐν τῷ ναῷ ἑστῶτες»*, *«Κύριε, ἐλέησον»* (μ΄), Δόξα. Καὶ νῦν. *«Τὴν τιμιωτέραν»*, *«Ἐν ὀνόματι Κυρίου»*·

ὁ ἱερεύς· *«Ὁ ὢν εὐλογητός»*,

ὁ Προεστώς· *«Ἐπουράνιε βασιλεῦ»*, αἱ τρεῖς μεγάλαι μετάνοιαι μετὰ τῆς Εὐχῆς τοῦ Ὁσ. Ἐφραὶμ *«Κύριε καὶ δέσποτα τῆς ζωῆς μου»*.

Καὶ εὐθὺς ἐπισυνάπτονται αἱ Ὧραι.

**ΑΙ ΩΡΑΙ:** ἀρχόμεναι πᾶσαι μετὰ τοῦ *«Δεῦτε προσκυνήσωμεν»* γ΄, κατὰ τὴν τάξιν τοῦ Τριῳδίου καὶ τοῦ Ὡρολογίου

[ἐν ταῖς ἐνορίαις μετὰ τὴν εὐχὴν τοῦ ἁγίου Ἐφραὶμ παραλείπεται τὸ τρισάγιον καὶ λέγεται εὐθὺς ἡ Εὐχὴ ἑκάστης Ὥρας]

Εἰς τὴν Θ΄ ὥραν, μετὰ τὸ Τρισάγιον καὶ τὰ μετ᾽ αὐτὸ τροπάρια *«Βλέπων ὁ λῃστής»* κ.λπ., τὸ *«Κύριε, ἐλέησον»* (μ΄), Δόξα. Καὶ νῦν. *«Τὴν τιμιωτέραν»*, *«Ἐν ὀνόματι Κυρίου»*,

ὁ ἱερεύς· *«Δι᾽ εὐχῶν»*

ὁ Προεστώς· *«Κύριε καὶ Δέσποτα»* καὶ τρεῖς μεγάλαι μετάνοιαι.

οἱ Χοροί· εἰς ἦχον πλ. δ΄ τοὺς Μακαρισμοὺς μετ᾽ ἐφυμνίου εἰς ἕκαστον στίχον τὸ *«Μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου»*, κατὰ τὴν ἐν τῷ Τριῳδίῳ καὶ Ὡρολογίῳ τάξιν.

Εἶτα ὁ Ἀναγνώστης· τὰ τροπάρια *«Χορὸς ὁ ἐπουράνιος»* κ.λπ., Καὶ νῦν.

ὁ Προεστώς· *«Πιστεύω εἰς ἕνα Θεόν»*, καὶ τὸ *«Ἄνες, ἄφες, συγχώρησον»*.

τὸ *«Πάτερ ἡμῶν»*, ὁ ἱερεύς· *«Ὅτι σοῦ ἐστί»*,

ὁ Ἀναγνώστης· τὰ Κοντάκια *«Ἐπὶ τοῦ ὄρους μετεμορφώθης»*,

τὸ τῆς ἡμέρας τῆς ἑβδομάδος (βλέπε αὐτὸ εἰς τὴν Ἀκολουθίαν τῶν τυπικῶν), ἤτοι·

Κοντάκιον τοῦ Σταυροῦ. Ἦχος δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός· Εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων, τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

τοῦ ἁγίου τοῦ Ναοῦ,

τὸ ἐνδιάτακτον μαρτυρικόν (τὸ ὁποῖον ἀνεγνώσθη καὶ μετὰ τὴν ϛ΄ ᾠδὴν τῶν κανόνων), ἤτοι·

τὸ Μαρτυρικὸν Κάθισμα τοῦ Ἤχου τῆς Ἑβδομάδος

Τὰς ἀλγηδόνας τῶν Ἁγίων, ἃς ὑπὲρ σοῦ ἔπαθον, δυσωπήθητι Κύριε, καὶ πάσας ἡμῶν τὰς ὀδύνας, ἴασαι φιλάνθρωπε δεόμεθα.

Δόξα, τὸ νεκρώσιμον *«Μετὰ τῶν ἁγίων»*, Καὶ νῦν, Θεοτοκίον *«Προστασία»*,

*«Κύριε, ἐλέησον»* (μ΄), *«Ὁ ἐν παντὶ καιρῷ»*, *«Κύριε, ἐλέησον»* (γ΄), Δόξα, Καὶ νῦν, *«Τὴν τιμιωτέραν»*, *«Ἐν ὀνόματι Κυρίου»*,
ὁ ἱερεύς· *«Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς»*.
ὁ Προεστώς· *«Κύριε καὶ Δέσποτα»* καὶ τρεῖς μεγάλαι μετάνοιαι, μεθ᾽ ἃς ἄρχεται ὁ

**Ἑσπερινὸς τῆς 9ης Ἀπριλίου καὶ Θεία Λειτουργία τῶν Προηγιασμένων Δώρων**

09.04.2020

Μάρτυρος Εὐψυχίου τοῦ ἐν Καισαρείᾳ, Βαδίμου Ἀρχιμανδρίτου καὶ τῶν 7 Μαθητῶν αὐτοῦ ἐν Περσίᾳ

**Ἡ Ἀκολουθία αὐτὴ καταρτίσθηκε**
**καὶ διανέμεται δωρεὰν**
**ἀπὸ τὸν ὀρθόδοξο Ἱστότοπο**
**http://akolouthies.wordpress.com**
**Προσφέρεται γιὰ ἰδιωτικὴ χρῆσι.**
**Δὲν ἐπιτρέπεται ἡ ἐμπόρευσί της.**